# 71. INSTRUCTIONS FOR THE JOURNEY (Matt-Lk Identicals)

| Matt 10:5-15 | Luke 9:2-5 |
|---|---|
| *Τούτους τοὺς δώδεκα* | |
| *ἀπέστειλεν ὁ Ἰησοῦς* | *καὶ ἀπέστειλεν αὐτοὺς* |
| *παραγγείλας αὐτοῖς λέγων,* | |
| *Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε,* | |
| *καὶ εἰς πόλιν Σαμαριτῶν* | |
| *μὴ εἰσέλθητε· 6 πορεύεσθε δὲ* | |
| *μᾶλλον πρὸς τὰ πρόβατα* | |
| *τὰ ἀπολωλότα οἴκου Ἰσραήλ.* | |
| *7 πορευόμενοι δὲ* | |
| *κηρύσσετε* | *κηρύσσειν* |
| *λέγοντες ὅτι* | |
| *Ἤγγικεν ἡ βασιλεία* | *τὴν βασιλείαν* |
| *τῶν οὐρανῶν.* | *τοῦ θεοῦ* |
| *8 ἀσθενοῦντας θεραπεύετε,* | *καὶ ἰᾶσθαι τοὺς ἀσθενεῖς,* |
| *νεκροὺς ἐγείρετε, λεπροὺς καθαρίζετε, δαιμόνια ἐκβάλλετε· δωρεὰν ἐλάβετε, δωρεὰν δότε.* | |
| | *3 καὶ εἶπεν* |
| | *πρὸς αὐτούς,* |
| *9 Μὴ κτήσησθε* | *Μηδὲν αἴρετε* |
| | *εἰς τὴν ὁδόν,* |
| | *μήτε ῥάβδον* |
| | *μήτε πήραν* |
| | *μήτε ἄρτον* |
| *χρυσὸν μηδὲ ἄργυρον* | *μήτε ἀργύριον,* |
| *μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν,* | |
| *10 μὴ πήραν εἰς ὁδὸν* | |
| *μηδὲ δύο χιτῶνας* | *μήτε ἀνὰ δύο χιτῶνας ἔχειν.* |
| *μηδὲ ὑποδήματα* | |
| *μηδὲ ῥάβδον· ἄξιος γὰρ ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ.* | |
| *11 εἰς ἣν δ ἂν* | *4 καὶ εἰς ἣν ἂν* |
| *πόλιν ἢ κώμην* | |
| *εἰσέλθητε,* | *οἰκίαν εἰσέλθητε,* |
| *ἐξετάσατε* | |
| *τίς ἐν αὐτῇ ἄξιός ἐστιν·* | |

| Matt 10:5-15 | Luke 9:2-5 |
|---|---|
| *κἀκεῖ μείνατε* | *ἐκεῖ μένετε* |
| *ἕως ἂν ἐξέλθητε.* | *καὶ ἐκεῖθεν ἐξέρχεσθε.* |
| *12 εἰσερχόμενοι δὲ εἰς τὴν οἰκίαν ἀσπάσασθε αὐτήν· 13 καὶ ἐὰν μὲν ᾖ ἡ οἰκία ἀξία, ἐλθάτω ἡ εἰρήνη ὑμῶν ἐπ αὐτήν· ἐὰν δὲ μὴ ᾖ ἀξία, ἡ εἰρήνη ὑμῶν πρὸς ὑμᾶς ἐπιστραφήτω.* | |
| *14 καὶ ὃς ἂν* | *5 καὶ ὅσοι ἂν* |
| *μὴ δέξηται* | *μὴ δέχωνται* |
| *ὑμᾶς* | *ὑμᾶς,* |
| *μηδὲ ἀκούσῃ* | |
| *τοὺς λόγους ὑμῶν,* | |
| *ἐξερχόμενοι* | *ἐξερχόμενοι* |
| *ἔξω τῆς οἰκίας* | |
| *ἢ τῆς πόλεως ἐκείνης* | *ἀπὸ τῆς πόλεως ἐκείνης* |
| *ἐκτινάξατε* | |
| *τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν.* | *τὸν κονιορτὸν ἀπὸ τῶν ποδῶν ὑμῶν* |
| | *ἀποτινάσσετε* |
| | *εἰς μαρτύριον ἐπ αὐτούς.* |
| *15 ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρρων ἐν ἡμέρᾳ κρίσεως ἢ τῇ πόλει ἐκείνῃ.* | |

234 total words with 42 identicals = 18%